# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΣΙΛΒΕΣΤΡΟΝ ΠΑΤΡΙΑΡΧΗΝ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Ποίημα Κυρίλλου, Μητροπολίτου Ῥόδου.

Εὐλογήσαντος τοῦ Ἱερέως τό «Κύριε εἰσάκουσον», μεθ᾽ ὃ τό «Θεὸς Κύριος» καὶ τὰ κάτωθι Τροπάρια.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Α᾽σκητικῶς πάθη σαρκὸς ὑποτάξας, ἐν Πατριάρχαις μιμητὴς ἀνεδείχθης, θεόφρον Πάτερ Σίλβεστρε, Χριστοῦ τοῦ Θεοῦ· τούτου γὰρ τοῖς ἴχνεσι, θεοφρόνως ἐπέβης, καὶ ὑπὲρ τῆς ποίμνης σου, ἱερῶς ἠγωνίσω. Ὅθεν αὐτὸν ἱκέτευε θερμῶς, ἐλεηθῆναι ἡμᾶς τοὺς τιμῶντάς σε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ καὶ ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις· «Κυρίλλου».

Ὠιδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Τρυφῶν σὺν Ἁγίων πάντων χοροῖς, τῆς θείας εὐκλείας, ἐν νυμφῶνι τῷ τῆς ζωῆς, Σίλβεστρε παμμάκαρ ἐκδυσώπει, ὑπὲρ ἡμῶν τὸν φιλάνθρωπον Κύριον.

Θεὸν ὁ δοξάσας ἐπὶ τῆς γῆς, παθῶν ἀδοξίας, σαῖς πρεσβείαις ῥύου ἡμᾶς, τοὺς προστρέχοντάς σοι καὶ ὑμνοῦντας, βίου τοῦ σοῦ τὴν λαμπρότητα Σίλβεστρε.

Παθῶν ψυχικῶν τε καὶ σαρκικῶν, τήρησον ἀτρώτους, χάριτί σου τῇ σωστικῇ, Σίλβεστρε θεόφρον ἡμᾶς πάντας, τοὺς εὐσεβῶς τὰς δεήσεις σοι φέροντας.

Θεοτοκίον.

Καλὴ ἀνεδείχθης καὶ ἐκλεκτή, τὸν κάλλει ὡραῖον, ὡς τεκοῦσα ἄνευ φθορᾶς· αὐτὸν οὖν ἐργάζου σαῖς πρεσβείαις, Μῆτερ Ἁγνὴ τοῖς ὑμνοῦσί σε ἵλεων.

Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Τῶν Ὁσίων ζηλώσας, τὴν θαυμαστὴν ἄσκησιν, ἔξω παντὸς κόσμου ἐγένου, τοῖς ἀγωνίσμασιν· ἐκ κοσμικῶν οὖν ἡμᾶς, σκανδάλων Σίλβεστρε Πάτερ, ἐνεργείᾳ φύλαττε, τῆς προστασίας σου.

Μολυνθέντες ἀθλίως, ταῖς πονηραῖς πράξεσι, καὶ ταῖς ψυχολέθροις ἐννοίαις, καθικετεύομεν· Τῆς χάριτός σου ἡμᾶς, τῇ μυστικῇ ἐπομβρίᾳ, τέλεον καθάρισον, Ἅγιε Σίλβεστρε.

Α᾿νωτέρους ῥεόντων, ἐπιφορᾶς τήρησον, καὶ τῆς εὐσεβείας τοῖς τρόποις, πάντας βελτίωσον, τῇ ἐνεργείᾳ τῆς σῆς, πρὸς τὸν Θεὸν μεσιτείας, Σίλβεστρε μακάριε, τοὺς πεποιθότας σοι.

Θεοτοκίον.

Υ῾περτέρα τῶν ἄνω, Ἀγγελικῶν τάξεων, τῷ παρθενικῷ σου ἐδείχθης, τόκῳ Μητράνανδρε· ἀλλ᾿ ὑπερτέρους ἡμᾶς, τῶν ἐπικήρων φροντίδων, μητρικῇ χρηστότητι, Κόρη ἀνάδειξον.

Διάσωσον Ἀλεξανδρείας ὁ ὅσιος Πατριάρχης, Σίλβεστρε Πάτερ, τῇ θείᾳ πρεσβείᾳ σου, ἀπὸ παντοίων κινδύνων τοὺς σὲ ὑμνοῦντας.

Ε᾿πίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β'. Πρεσβεία θερμή.

Τὰ ἄνω ζητῶν, τῶν κάτω κατεφρόνησας, καὶ Πατριαρχῶν, ἐν θρόνῳ ἐμεγάλυνας, πρακτικῶς τὸ ὄνομα, τοῦ Κυρίου Ὅσιε Σίλβεστρε· ὅθεν ἀπαύστως ἵλεων αὐτόν, ἐργάζου λιταῖς σου τοῖς τιμῶσί σε.

Ὠιδὴ δ'. Εἰσακήκοα Κύριε.

Τοῦ Παντάνακτος Σίλβεστρε, νόμῳ τῷ ἁγίῳ δεῦρο κατεύθυνον, τὰς ψυχὰς ἡμῶν σῇ χάριτι, ἵνα τῆς ζωῆς καταπολαύσωμεν.

Συμπαθῶς Πάτερ Σίλβεστρε, ἴδε ἐπὶ πάντας τοὺς αἰτουμένους σε, ἀντιλήπτορα θερμότατον, ἐν πειρατηρίοις καὶ κακώσεσιν.

Παμμακάριστε Σίλβεστρε, πάρεχε τὴν χάριν σου ἀκεσώδυνον, τοῖς ἱκέταις σου λυτρούμενος, τούτους ἐκ τῶν νόσων καὶ τῶν θλίψεων.

Θεοτοκίον.

Ρ῾ύου Ἄχραντε Δέσποινα, μητρικαῖς πρεσβείαις σου πρὸς τὸν Κύριον, ἐκ τῶν θλίψεων τοὺς δούλους σου, τῇ σῇ εὐσπλαχνίᾳ καταφεύγοντας.

Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.

Α῎κουσον ἡμῶν, τῆς φωνῆς Ὅσιε Σίλβεστρε, καὶ παράσχου τὰ αἰτήματα ἡμῖν, μεσιτείαις σου ἁγίαις πρὸς τὸν Κύριον.

Σίλβεστρε ἡμῖν, σαῖς πρεσβείαις ἰσχὺν πάρεχε, θείῳ φόβῳ γεωργεῖν βίον σεμνόν, ἵνα τύχωμεν τῆς ἄνω καταπαύσεως.

Σίλβεστρε σοφέ, τὰς πορείας ἡμῶν εὔθυνον, χάριτός σου ποιμασίᾳ μυστικῇ, πρὸς θελήματος τοῦ θείου τὴν ἐκπλήρωσιν.

Θεοτοκίον.

Γ῎αμα ψυχῶν, καὶ σωμάτων ἀεὶ βλύζουσα, Θεοτόκε ὡς ἀκένωτος πηγή, ἡμᾶς εὔφρανον σὸν τόκον μεγαλύνοντας.

Ὠιδὴ στ΄. Τὴν δέησιν.

Τὰς χεῖράς σου, τῷ Θεῷ ἀνύψωσον, ὡς αὐτοῦ ἡγιασμένος θεράπων, ὑπὲρ ἡμῶν τὰς δεήσεις προσφέρων, Σίλβεστρε χαῖρε ἐκ πόθου βοώντων σοι, Ἀλεξανδρείας ὁ φωστήρ, Ἐκκλησίας ὁ λάμπων τοῖς πέρασιν.

Εὐπρόσδεκτον, ὁ Θεῷ τῷ βίῳ σου, σεαυτὸν προθύμως θύσας θυσίαν, τῶν ἀρετῶν τὴν ἀκρότητα θῦσαι, ἐν συνειδήσει ἀρίστη ἐνίσχυσον, Σίλβεστρε Ὅσιε ἡμᾶς, εὐλαβεῖς ὑμνητάς σου ὑπάρχοντας.

Τὸν δράκοντα, τὸν δεινὸν ὑφέρποντα, καθ᾽ ἡμῶν τῶν ἱκετῶν σου δολίως, τῆς ἐκ Θεοῦ χάριτός σου τῇ ῥάβδῳ, Σίλβεστρε Πάτερ μακρὰν ἀποδίωξον, καὶ φρούρει πάντοτε ἡμᾶς, τοὺς τὴν σὴν αἰτουμένους βοήθειαν.

Θεοτοκίον.

Λαμπάδα σε, νοητὴν γιγνώσκοντες, τοῦ φωτὸς τοῦ ἀνεσπέρου Παρθένε, ἐν ταπεινῇ λέγομέν σοι καρδίᾳ· Δεῦρο Ἁγνὴ ἐκ τοῦ σκότους ἐξάγαγε, φαύλων ἡμᾶς συνηθειῶν, μητρικῆς χάριτός σου λαμπρότητι.

Διάσωσον Ἀλεξανδρείας ὁ ὅσιος Πατριάρχης, Σίλβεστρε Πάτερ, τῇ θείᾳ πρεσβείᾳ σου, ἀπὸ παντοίων κινδύνων τοὺς σὲ ὑμνοῦντας.

Α῎χραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β′. Τοῖς τῶν αἱμάτων σου.

Τῆς προστασίας σου χάριν τὴν ἄμαχον, μὴ ἀποστήσῃς ἀπὸ τῶν τιμώντων σε, ἐν βίου κινδύνοις καὶ θλίψεσι· τῇ σῇ γὰρ σκέπῃ προστρέχομεν Σίλβεστρε, Τριάδος τὸ κράτος δοξάζοντες.

Προκείμενον. Ἦχος δ′.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.
Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.
(Κεφ. ια′ 27-30)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Προσόμοιον. Ἦχος πλ. β′. Ὅλην ἀποθέμενοι.

Βίον οὐρανόφρονα, ἐπὶ τῆς γῆς ἐκτελέσας, καὶ τιμίῳ γήρατι, ἀρετῶν τοῖς κάλλεσι, στεφανούμενος, Στεφανῶν βλάστημα, τὸ ἡγιασμένον, Πάτερ Σίλβεστρε πανεύφημε, πρὸς τὴν λαμπρότητα, τὴν τῶν οὐρανῶν ἐξεδήμησας, καὶ ἧς Χριστὸς ὑπέσχετο, δόξης ὑπεδέξω τὸ πλήρωμα. Ὅθεν παῤῥησίᾳ, ἱκέτευε δεόμεθα αὐτῷ, ἀκαταπαύστως μακάριε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Βασιλείας τῆς ἄνω, τὸ δηνάριον Πάτερ, παρὰ Κυρίου λαβών, καὶ στεφανηφορήσας, τῇ δόξῃ τῶν Ἁγίων, ἐπὶ γῆς τοῖς ὑμνοῦσί σε, Σίλβεστρε αἴτει θερμῶς, χαράν τε καὶ εἰρήνην.

Νοσημάτων παντοίων, πειρασμῶν τε ποικίλων, Σίλβεστρε Πάτερ σοφέ, καὶ πάσης ἐπηρείας, βελίαρ τοῦ δολίου, ἀλωβήτους συντήρησον, τοὺς σοὺς ἱκέτας ἡμᾶς, πιστῶς γεραίροντάς σε.

Βακτηρίᾳ τῇ θείᾳ, πρεσβειῶν σου ἐνθέρμων, πρὸς τὸν Δεσπότην Χριστόν, ὁδήγει ἡμᾶς πάντας, τοὺς μακαρίζοντάς σε, ἀσφαλῶς πρὸς κατόρθωσιν, τῶν ἐν αὐτῷ ἀρετῶν, Σίλβεστρε θεομάκαρ.

Θεοτοκίον.

Λυτρωθέντες Παρθένε, τῷ ἀφράστῳ σου τόκῳ, τῆς ἀρχεγόνου ἀρᾶς, ὑμνοῦμεν γηθοσύνως, καὶ μακαρίζομέν σε· ῥείθροις οὖν τοῦ ἐλέους σου, κάθαρον δεῦρο ἡμῶν, τὸν νοῦν παθῶν ἰλύος.

Ὠιδὴ η΄. Τὸν Βασιλέα.

Ρ῾ῶσιν ἐξαίτει, κατὰ ψυχήν τε καὶ σῶμα, Πάτερ Σίλβεστρε ἡμῖν τοῖς ἀναξίοις, τὴν ἀντίληψίν σου, πιστῶς ἐξαιτουμένοις.

Τῆς συμπαθείας, τὸν γλυκασμὸν ὡς προχέων, πᾶσαν δίωξον παθῶν ἡμῶν πικρίαν, Σίλβεστρε παμμάκαρ, Πατριαρχῶν τὸ κλέος.

Τοὺς νεκρωθέντας, ἁμαρτιῶν ἐργασίαις, ἡμᾶς ζώωσον Τριὰς Ὑπεραγία, τοῦ θεράποντός σου, Σιλβέστρου μεσιτείαις.

Θεοτοκίον.

Ὁδοποιοῦσα, ὁδόν καλὴν σωτηρίας, μητρικῇ σου ἐν ἀγάπῃ δεῦρο πᾶσιν, Ἄχραντε Παρθένε, τοῖς μακαρίζουσί σε.

Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.

Τὸν βίον ὁ σωφρόνως, ἅπαντα τελέσας, ἐν σωφροσύνῃ ἡμᾶς καταξίωσον, τὴν πολιτείαν διάγειν, Ἅγιε Σίλβεστρε.

Δυνάμει τῶν εὐχῶν σου, Σίλβεστρε τρισμάκαρ, τὸν ἐπὶ πάντων Θεὸν ἐξευμένιζε, τοῖς εὐσεβῶς προσιοῦσι, τῇ ἀντιλήψει σου.

Σιλβέστρου ταῖς πρεσβείαις, Ἄναρχε Θεότης, Τριὰς Ἁγία ἐκ πλάνης αἱρέσεων, τὴν Ἐκκλησίαν συντήρει, ἀπαρασάλευτον.

Θεοτοκίον.

Ὑψίστου Θεοῦ Μῆτερ, Ἄχραντε Μαρία, τῶν μητρικῶν δωρεῶν σου ἀξίωσον, τοὺς ἀδιστάκτῳ καρδίᾳ, ὑμνολογοῦντάς σε.

Τό «Ἄξιόν ἐστι» καὶ τὰ Μεγαλυνάρια.

Χαίροις τῶν Ὁσίων ὁ κοινωνός, καὶ Ἀλεξανδρείας, Πατριάρχης ὁ θαυμαστός· ταῖς σαῖς οὖν πρεσβείαις, ἐν βίου ταῖς ἀνάγκαις, Σίλβεστρε θεομάκαρ, ἡμῶν προστάτευε.

Χαίροις Θεοτόκου τῆς Ὀρφανῆς, Σίλβεστρε παμμάκαρ, κατὰ χάριν υἱὸς σεπτός, μεθ᾽ ἧς καὶ δυσώπει, τὸν Κύριον τῆς δόξης, ὑπὲρ ἡμῶν ἐκ πόθου, ἀνευφημούντων σε.

Λύχνος θεῖος ὤφθης ταῖς ἀρεταῖς, τῆς Ἀλεξανδρείας, ἐν λυχνίᾳ τῇ ὑψηλῇ· διὸ χάριτός σου, καταύγασον ἀκτῖσι, Σίλβεστρε τὰς καρδίας, τῶν εὐφημούντων σε.

Βίον ὁ τελέσας ἀσκητικόν, καὶ πατριαρχεύσας, ἐν συνέσει πνευματικῇ, ἡμᾶς τοῦ Κυρίου, συνέτισον τῷ φόβῳ, Σίλβεστρε θεοφόρε, τῇ ἀντιλήψει σου.

Χαίροις Μωυσέως ὁ μιμητής· σὺ γὰρ ὡς ἐκεῖνος, ἐν Αἰγύπτῳ τοῦ εὐσεβοῦς, λαοῦ ἀνεδείχθης, Σίλβεστρε ἐν ἡμέραις, κακώσεως προστάτης· διὸ τιμῶμέν σε.

Χαίροις Ἀγκαράθου ὁ τῆς Μονῆς, σοφὸς καθηγέτης, χρηματίσας δι᾽ ἀρετῆς· αὐτὴν οὖν συντήρει, εὐχαῖς σου εἰρηναῖαν, Πατριαρχῶν τὸ κλέος, Ὅσιε Σίλβεστρε.

Πρέσβευε ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν ἀπεγνωσμένων, διὰ πλῆθος ἁμαρτιῶν, ἵνα μετανοίας, δι᾽ ἔργων λυτρωθῶμεν, ἐκ τῆς πικρᾶς γεέννης, Ἅγιε Σίλβεστρε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον, τὰ συνήθη Τροπάρια, Ἐκτενὴς παρὰ τοῦ Ἱερέως καὶ Ἀπόλυσις μεθ᾽ ἣν ψάλλομεν τὰ κάτωθι τροπάρια

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ο῞λος ἐκ νεότητος τρωθείς, τῶν ἐπουρανίων τῷ πόθῳ, τὴν δεκτικήν σου ψυχήν, ζήλῳ ἠκολούθησας, Χριστοῦ τοῖς ἴχνεσι, καὶ τῇ ψήφῳ τοῦ Πνεύματος, τῆς Ἀλεξανδρείας, θρόνον κατεκόσμησας, λαμπρῶς τὸν μέγιστον. Ὅθεν Πάτερ Σίλβεστρε μάκαρ, δόξης ὡς μετέχων τῆς ἄνω, τῶν ἀνευφημούντων σε μνημόνευε.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δι᾽ εὐχῶν τῶν ἁγίων...

*Δίστιχον.*

Σίλβεστρε, Ἐπίσκοπον Κύριλλον Ῥόδου,
Φύλαττε πρεσβείαις σου πρὸς τὸν Δεσπότην.